Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXVI. De epistolis Dionysii.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

## ΚΕΦΑΛΑΙΟΝ Κϛʹ.

Περὶ τῶν ἐπιστολῶν Διονυσίου.

Ἐπὶ ταύταις τοῦ Διονυσίου φέρονται καὶ ἄλλαι πλείους ἐπιστολαί· ὥσπερ αἱ κατὰ Σαβελλίου πρὸς Ἄμμωνα τῆς κατὰ Βερνίκην ἐκκλησίας ἐπίσκοπον. καὶ ἡ πρὸς Τελεσφόρον. καὶ ἡ πρὸς Εὐφράνορα. καὶ πάλιν Ἄμμωνα καὶ Εὔπορον. συντάττει δὲ περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ ἄλλα τέσσαρα συγγράμματα. ἃ τῷ κατὰ Ῥώμην ὁμωνύμῳ Διονυσίῳ προσφωνεῖ. καὶ πλείους δὲ παρὰ ταύτας εἰσὶν αὐτοῦ παρ᾽ ἡμῖν ἐπιστολαί. καὶ δὴ καὶ πολυεπεῖς λόγοι ἐν ἐπιστολῆς χαρακτῆρι γραφέντες· ὡς οἱ περὶ φύσεως Τιμοθέῳ τῷ παιδὶ προσπεφωνημένοι, καὶ ὁ περὶ πειρασμῶν. ὃν καὶ αὐτὸν Εὐφράνορι ἀνατέθεικεν. ἐπὶ τούτοις καὶ Βασιλείδῃ τῷ κατὰ Πεντάπολιν παροικιῶν ἐπισκόπῳ γράφων, φησὶν ἑαυτὸν εἰς τὴν ἀρχὴν ἐξήγησιν πεποιηκέναι τοῦ ἐκκλησιαστοῦ. διαφόρους δ᾽ ἡμῖν καὶ πρὸς τοῦτον καταλέλοιπεν ἐπιστολάς. τοσαῦτα ὁ Διονύσιος. ἀλλὰ γὰρ ἤδη μετὰ τὴν περὶ τούτων ἱστορίαν, φέρε καὶ τὴν καθ᾽ ἡμᾶς τοῖς μετέπειτα γνωρίζειν γενεὰν ὁποία τίς ἦν, παραδῶμεν.

## Caput XXVI.

*De epistolis Dionysii Alexandrinorum Episcopi.*

Præter has exstant aliæ complures Dionysii epistolæ. Inter quas sunt illæ contra Sabellium scriptæ ad Ammonem Berenicensem episcopum. Alia item ad Telesphorum, & ad Euphranorem altera. Alia rursus ad Ammonem & Euporum. Quatuor etiam libros de eodem argumento composuit, quos gentili suo Dionysio Romanorum episcopo nuncupavit. Sed & aliæ plures sunt apud nos illius epistolæ: & prolixiores libri epistolari forma ac stilo conscripti. Cujusmodi sunt illi de natura libri, Timotheo puero dedicati. Item liber de tentationibus, quem etiam Euphranori nuncupavit. Ipse prætereà in epistola quam ad Basilidem Pentapolitanum episcopum scripsit, Commentarium se composuisse testatur in principium libri qui Ecclesiastes dicitur. Porrò ad hunc Basilidem varias etiam epistolas scriptas nobis reliquit. Atque hæc sunt Dionysii Scripta. Verùm his jam expositis, nunc tandem quæ qualisque fuerit ætas nostra, posterorum notitiæ tradamus.

Huc refer Niceph. l. 6. c. 24.

## ΚΕΦΑΛΑΙΟΝ ΚΖʹ.

Περὶ Παύλου τοῦ Σαμοσατέως, καὶ τῆς ἐν Ἀντιοχείᾳ συστάσης ὑπ᾽ αὐτοῦ αἱρέσεως.

Ξύστον τῆς Ῥωμαίων ἐκκλησίας ἔτεσιν ἕνδεκα προστάντα, διαδέχεται ὁ κατ᾽ Ἀλεξάνδρειαν ὁμώνυμος Διονύσιος. ἐν τούτῳ δὲ καὶ Δημητριανοῦ κατ᾽ Ἀντιόχειαν τὸν βίον μεταλλάξαντος, τὴν ἐπισκοπὴν Παῦλος ὁ ἐκ Σαμοσάτων παραλαμβάνει. τούτου δὲ ταπεινὰ καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν φρονήσαντος, ὡς κοινοῦ τὴν φύσιν ἀνθρώπου γενομένου, ὁ μὲν κατ᾽ Ἀλεξάνδρειαν Διονύσιος παρακληθεὶς ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀφίκοιτο. γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος, ἀνατίθεται τὴν παρουσίαν, δι᾽ ἐπιστολῆς τὴν αὐτοῦ γνώμην ἣν ἔχοι περὶ τοῦ ζητουμένου παραστήσας. οἱ δὲ λοιποὶ τῶν ἐκκλησιῶν ποιμένες, ἄλλος ἄλλοθεν ὡς ἐπὶ λυμεῶνα τῆς Χριστοῦ ποίμνης συνῄεσαν, οἱ πάντες ἐπὶ τὴν Ἀντιόχειαν σπεύδοντες.

## Caput XXVII.

*De Paulo Samosateno, & de hæresi ab eodem Antiochiæ instituta.*

Cum igitur Xystus undecim annis Ecclesiæ Romanæ præfuisset, in ejus locum successit Dionysius, Alexandrino illi cognominis. Sub idem tempus defuncto Antiochiæ Demetriano, Paulus Samosatensis episcopatum suscepit. Hic cum adversus ecclesiæ doctrinam nimis abjectè & humiliter de Christo sentire cœpisset, quasi is nihil supra communem hominum naturam habuisset; Dionysius Alexandrinæ ecclesiæ Episcopus rogatus ut ad Concilium veniret, adventum quidem suum distulit, senectutem & infirmitatem corporis causatus. Ceterùm quid ipse de hac quæstione sentiret, per epistolas indicavit. At reliqui Ecclesiarum pastores undique exciti, tanquam adversus gregis Dominici vastatorem, simul omnes Antiochiam convenerunt.

Huc refer Niceph. l. 6. c. 27.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN